A

## ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΕΚ ΣΤΙΧΩΝ ιϛ΄.

Ἄγγελος, ὁ οἰκέτης Πεισθεταίρου. Χορὸς εἰς δύο μέρη, ἤγουν εἰς δύο ἡμιχόρια διαιρεθείς.

Bisetus. Ἄγγελος ἐστὶν, ὁ Πεισθεταίρου θεράπων, καὶ μετ᾽ αὐτὸν ὁ Χορὸς εἰς δύο μέρη διαιρεθεὶς τὸν Πεισθεταίρου γάμον ὑμνεῖ, καὶ τὸ τῶν ὀρνίθων γένος, τύχην, καὶ πόλιν μακαρίζει, ὅτι παρὰ δόξαν εὐδαιμονίας διὰ τὴν ἀνδρὸς τοιούτου σοφίαν ἔτυχε. B

Ἀγγ. Ὦ πάντ᾽ ἀγαθὰ πράττοντες, ὦ μείζω λόγου.
Ὦ τρισμακάριον πτηνὸν ὀρνίθων γένος.
Δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις.
Προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς
Ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ.
Οὔθ᾽ ἡλίου τηλαυγὲς ἀκτίνων σέλας
Τοιοῦτον ἐξέλαμψεν. οἷον δ᾽ ἔρχεται
Ἔχων γυναικὸς κάλλος, οὐ φατὸν λέγειν.
Πάλλων κεραυνὸν πτεροφόρον Διὸς βέλος.
Ὀσμὴ δ᾽ ἀνωνόμαστος ἐς βάθος κύκλου
Χωρεῖ, καλὸν θέαμα. θυμιαμάτων.
Αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ.
Ὁδὶ δὲ καὐτός ἐστιν. ἀλλὰ χρὴ θεᾶς
Μούσης ἀνοίγειν ἱερὸν εὔφημον στόμα.

## Compositio per circuncisionem.

NVN. O omnia bona facientes, ô maiora sermone,
O ter beatum volabile auium genus,
Suscipite regem beatis domibus.
Aduenit enim qualis neque undique lucens
Stella videre splēduit aureáque splēdida domo,
Neque solis longè splendens radiorum splendor
C Talis splenduit: qualem autem venit
Habens mulieris pulchritudinem non dicibile dicere.
Mouens fulmen, alas ferens Iouis telum.
Odor autem innominabilis in profundū circuli
Procedit. pulcher aspectus sacrificiorum,
Auræ mouent volutionem fumi.
Hic autem & ipse est, sed oportet deæ
D Musæ aperire, sacrum benedicens os.

Σχόλια. Ὦ πάντ᾽ ἀγαθά.] ἡ συστηματικὴ αὕτη εἴσθεσις ἐξ ἰάμβων ἐστὶ τριμέτρων ιϛ. ἐπὶ τῷ τέλει παράγραφος. εἴη δ᾽ ἂν ἐστὶν ὁ ἄγγελος θεράπων συναναβατικῶς τῷ Πεισθεταίρῳ. Διὸς βέλος.] τῆς βασιλείας. λαβὼν γὰρ τὸν ταμίαν τοῦ κεραυνοῦ καὶ αὐτὸν ἄγει. εἰώθασι γὰρ τῷ κεραυνῷ ἐξ ἑκατέρου μέρους πτερὰ προσφύειν. Ὀσμὴ δ᾽ ἀνωνόμαστος ἐς βάθος] εἰς τὸ ὕψος τοῦ οὐρανοῦ. ἀνωνόμαστος δὲ ἀντὶ τοῦ πολλή. καὶ λόγῳ οὐ δυναμένη ὀνομασθῆναι. Διαψαίρουσι] πρὸς τὴν τῆς λέξεως διαίρεσιν. διαψαίρειν δὲ, τὸ ἡσυχῆ διακινεῖσθαι καὶ ψοφεῖν καὶ ψαίρειν ἴδιον λεγόμενον. πλεκτάνην δὲ τὴν εἴλησιν. αἱ δὲ αὖραι, διακινοῦσι τὴν πλεκτάνην τοῦ καπνοῦ τῶν θυμιαμάτων. λείπει δὲ, τὸ πνέουσι.

E

## ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων ιβ΄.

Ἡμι. Ἄναγε. δίεχε. διάγε. περίαγε. πάρεχε.
Περιπέτεσθε τὸν μάκαρα
Μάκαρι σὺν τύχᾳ.
Ὦ φεῦ φεῦ. τῆς ὥρας
Τοῦ κάλλους.
Ὦ μακαριστὸν σὺ γάμον
Τῇδε τῇ πόλει γήμας.
Ἡμι. Μεγάλαι κατέχουσι τύχαι
Γένος ὀρνίθων
Διὰ τόνδε τὸν ἄνδρα.
Ἀλλ᾽ ὑμεναίοισι καὶ νυμφιδίοις
Δέχεσθ᾽ ᾠδαῖς
Αὐτὸν καὶ τὴν Βασίλειαν.

## Cantus etversio membrorum duodecim.

Semi. Reduc, diuide, diduc, adduc, præbe,
Circumuola beatum
Beata cum fortuna.
F O papæ papæ tempore
Pulchritudinis,
O beatißimas tu nuptias
Hac ciuitate nubens.
ALT. SEMI. Magnæ detinent fortunæ
Genus auium
Propter hunc virum,
Sed laudatiuis & sponsalibus
G Suscipite cantibus ipsum, & reginam.

Σχόλ. Ἀνάγε δίεχε] εἴσθεσις μέλους χοροῦ εἰς δύο περιόδους διῃρημένη κώλων ιϐ. εἰσὶ δὲ τῆς μὲν πρώτης τροχαϊκὰ ϛ ἐπιμεμιγμένα χορείοις καὶ ἰάμβοις. ὧν τὰ ά β δ έ δίμετρα ἀκατάληκτα. τὸ γ πενθημιμερές. τὸ ϛ ἐφθημιμερές. τῆς δὲ β ἐξ ἀναπαιστικῶν, τὰ μὲν ά δ δίμετρα ἀκατάληκτα. τὰ δὲ β έ ἀναπαιστικὴ βάσις. τὸ γ πενθημιμερές. τὸ ϛ ἐφθημιμερές. ἐπὶ τῇ ἀποθέσει παράγραφος. τὸ δὲ ἑξῆς ἄνεχε δίεχε, ἀντὶ τοῦ ὕμνει αὐτόν. χλευάζει δὲ, παρὰ τὰ ἐκ Τρωάδων Εὐριπίδου. ἄνεχε πάρεχε. φῶς φέρε.

Bis. Ἡ τῶν μέτρων ἀπαρίθμησις, ἡ ποιότης, καὶ τὸ σχῆμα ἐν τοῖς παλαιοῖς σχολίοις οὐ καλῶς ἔχειν ἔοικεν. ἀλλὰ ταῦτα διὰ τὴν ἀσάφειαν οὐ ῥᾴδιον ἐπανορθοῦσθαι δύναται.

ΣΤΡΟ-